ἢ μὴν λαλήσω καὶ ἐλέγξω ἐναντίον αὐτοῦ·
16 καὶ τοῦτό μοι ἀποβήσεται εἰς σωτηρίαν,
οὐ γὰρ ἐναντίον αὐτοῦ δόλος εἰσελεύσεται.
17 ἀκούσατε ἀκούσατε τὰ ῥήματά μου·
ἀναγγελῶ γὰρ ὑμῶν ἀκουόντων.
18 ἰδοὺ ἐγὼ ἐγγύς εἰμι τοῦ κρίματός μου,
οἶδα ἐγὼ ὅτι δίκαιος ἀναφανοῦμαι.
19 τίς γάρ ἐστιν ὁ κριθησόμενός μοι;
※ὅτι νῦν κωφεύσω καὶ ἐκλείψω.
20 δυεῖν δέ μοι χρήσῃ·
※τότε ἀπὸ τοῦ προσώπου σου οὐ κρυβήσομαι·
21 τὴν χεῖρα ἀπ᾽ ἐμοῦ ἀπέχου,
καὶ ὁ φόβος σου μή με καταπλησσέτω.
22 εἶτα καλέσεις, ἐγὼ δέ σοι ὑπακούσομαι·
ἢ λαλήσεις, ἐγὼ δέ σοι δώσω ἀνταπόκρισιν.
23 πόσαι εἰσὶν αἱ ἁμαρτίαι μου καὶ αἱ ἀνομίαι μου;
δίδαξόν με τίνες εἰσίν.
24 διὰ τί ἀπ᾽ ἐμοῦ κρύπτῃ,
ἥγησαι δέ με ὑπεναντίον σοι;
25 ἢ ὡς φύλλον κινούμενον ὑπὸ ἀνέμου εὐλαβηθήσῃ
ἢ ὡς χόρτῳ φερομένῳ ὑπὸ πνεύματος ἀντίκεισαί μοι;
26 ὅτι κατέγραψας κατ᾽ ἐμοῦ κακά,
περιέθηκας δέ μοι νεότητος ἁμαρτίας,
27 ἔθου δέ μου τὸν πόδα ἐν κωλύματι,
ἐφύλαξας δέ μου πάντα τὰ ἔργα,
εἰς δὲ ῥίζας τῶν ποδῶν μου ἀφίκου·
28 ὃ παλαιοῦται ἴσα ἀσκῷ
ἢ ὥσπερ ἱμάτιον σητόβρωτον.
14 1 βροτὸς γὰρ γεννητὸς γυναικὸς ὀλιγόβιος καὶ πλήρης ὀργῆς
2 ἢ ὥσπερ ἄνθος ἀνθῆσαν ἐξέπεσεν,

15$^2$ η μην] ου μην δε αλλα A†: cf. 2 5 5 8 12 6 13 3 17 10 21 17 27 7 33 1 34 36 | ελεγξω] + υμας A† || 16$^2$ δολιος Gra. | εισελ. ante εναντ. tr. A† || 17$^1$ ακουσ. 1$^0$] + μου A† | τα ρημ. / μου] tr. A† | 17$^2$ υμων] pr. υμιν S† || 19$^2$ οτι] ινα A† || 20$^1$ χρηση] χρ⟨ε⟩ια A† | 20$^2$ ου > S || 21$^1$ χειρα] + σου A† | απ εμου απεχου] αποσχου απ εμου A(†) || 22$^1$ ειτα] ειτ αν B*†, εστ αν S*† | καλεση S*† | σοι] σου S*Bc† | υπακουω A† | 22$^2$ η > A† | ανταποκρ.] αντ > A†: cf. 34 36 et 16 8 32 12 || 23$^1$ αι 2$^0$ > A | 23$^2$ διδ. με / τιν. εισιν] tr. A† || 24$^1$ απ εμου κρυπτη] με αποκρυπτη A† | 24$^2$ ηγ. δε με] + ωσπερ A† | σου S*A || 25$^1$ ως] ωσπερ SA | ανεμου] pr. του S*† | 25$^2$ χορτον φερομενον A† | αντικεισε(pro -σαι) δε(sic) μοι ad 26 trahit A† || 26$^2$ περιεθι δε] και περ. A†: cf. 3 12 || 27$^1$ μου / τον ποδα] tr. S† | κυκλωματι A†: cf. 33 11 | 27$^2$ εφυλ. δε] και εφυλαξες(sic) A†: cf. 3 12 | 27$^3$ των > A† || 28$^1$ ο. παλαιουνται A†
14 1 γαρ γενν.] tr. S*†

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id41624694X/297 UNIVERSITÄT LEIPZIG